οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα· νῦν δὲ πέπαυται,
αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.

## LXII (36)

τὸν βαθὺν οἰνοπότην Ἐρασίξενον ἡ δὶς ἐφεξῆς
ἀκρήτου προποθεῖσ᾽ ᾤχετ᾽ ἔχουσα κύλιξ.

## LXIII (63)

οὕτως ὑπνώσαις, Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις·
οὕτως ὑπνώσαις, ἀδικωτάτη, ὡς τὸν ἐραστήν
κοιμίζεις, ἐλέου δ᾽ οὐδ᾽ ὄναρ ἠντίασας.
γείτονες οἰκτείρουσι, σὺ δ᾽ οὐδ᾽ ὄναρ· ἡ πολιὴ δέ
αὐτίκ᾽ ἀναμνήσει ταῦτά σε πάντα κόμη.

# FRAGMENTA

## LXIV (*fr.* 393)

(*a*)

αὐτὸς ὁ Μῶμος
ἔγραφεν ἐν τοίχοις "ὁ Κρόνος ἐστὶ σοφός."

(*b*)

ἠνίδε καὶ κόρακες τεγέων ἔπι "κοῖα συνῆπται;"
κρώζουσιν, καὶ "κῶς αὖθι γενησόμεθα;"